1 ἐμφαίνει libri ἐμφαίνεται Drosihnus, vid. supra p. 15, 6 6 ἀφικομένοις EDW || 8 εἰσὶν M || 11 μὴθ' ἓν A | δεινὸν om M παθεῖν ἐν τῷ βίῳ δεινόν FEDW || 13 ὦ F ὢ M om reliqui ἔφης M || 14 οὕτως (οὗτος M) ἔξω τοῦ περιβόλου ἕστηκεν AMF ἔξω τοῦ περιβόλου ἕστηκεν οὕτως reliqui || 15 παραγινομένους AM παραγενομένους reliqui || 17 εἰσάγει τούτους A αὐτοὺς εἰσάγῃ RFC αὐτοὺς εἰσάγει reliqui sed sscr η K corr εἰσάγῃ D || 19 εἴ τις] οὗτος A | φιλότιμος M || 20 ἂν om EDWM | παραγενόμενος C || 21 ἐξέβαλλε A ἐξέβαλε reliqui | τὰ νοσοποιοῦντα AML πάντα νοσοποιοῦντα V[1] πάντα τὰ νοσοποιοῦντα V[2] reliqui

*οὕτως ἂν ὁ ἰατρὸς αὐτὸν εἰς ἀνάληψιν καὶ ὑγείαν
κατέστησεν, εἰ δὲ μὴ ἐπείθετο οἷς ἐπέταττεν, εὐλόγως* 3
ἂν δήπου ἀπωσθεὶς ἐξώλετο ὑπὸ τῆς νόσου —

Ταῦτα μὲν συνίημι, ἔφην ἐγώ.

Τὸν αὐτὸν τοίνυν τρόπον, ἔφη, καὶ πρὸς τὴν Παι- 4
*δείαν ὅταν τις παραγένηται, θεραπεύει αὐτὸν καὶ πο-
τίζει τῇ ἑαυτῆς δυνάμει, ὅπως ἐκκαθάρῃ πρῶτον καὶ
ἐκβάλῃ τὰ κακὰ πάντα ὅσα ἔχων ἦλθε.*

Ποῖα ταῦτα;

Τὴν ἄγνοιαν καὶ τὸν πλάνον, ὃν ἐπεπώκει παρὰ 5
*τῆς Ἀπάτης, καὶ τὴν ἀλαζονείαν καὶ τὴν ἐπιθυμίαν
καὶ τὴν ἀκρασίαν καὶ τὸν θυμὸν καὶ τὴν φιλαργυρίαν
καὶ τὰ λοιπὰ πάντα, ὧν ἀνεπλήσθη ἐν τῷ πρώτῳ
περιβόλῳ.*

XX. *Ὅταν οὖν καθαρθῇ, ποῦ αὐτὸν ἀποστέλλει;*

*Ἔνδον, ἔφη, πρὸς τὴν Ἐπιστήμην καὶ πρὸς τὰς
ἄλλας Ἀρετάς.*

Ποίας ταύτας;

Οὐχ ὁρᾷς, ἔφη, ἔσω τῆς πύλης χορὸν γυναικῶν, 2
*ὡς εὐειδεῖς δοκοῦσιν εἶναι καὶ εὔτακτοι καὶ στολὴν
ἀτρύφερον καὶ ἁπλῆν ἔχουσιν· ἔτι τε ὡς ἄπλαστοί εἰσι
καὶ οὐδαμῶς κεκαλλωπισμέναι καθάπερ αἱ ἄλλαι;*

Ὁρῶ, ἔφην. ἀλλὰ τίνες αὗται καλοῦνται; 3

1 *ὁ ἰατρὸς αὐτὸν* A *αὐτὸν ὁ ἰατρὸς* CKP *αὐτὸς ὁ ἰατρὸς* reliqui | *ὑγίαν* M *ὑγίειαν* K *ὑγείαν* reliqui sed supra *α* sscr *η* W^2 ‖ 2 *κατέστησαν* W | *ἐπύθετο* C^1P *ἐπείθετο* corr C^2 ‖ 4 *μὲν* AMC^2 om C^1 reliqui ‖ 5 *τοίνυν*] *δὴ* M ‖ 6 *παραγένηται* AM *παραγίνηται* reliqui | *αὐτὴν* F ‖ 7 *ἑαυτῇ* V^1 *ἑαυτῆς* V^2; vid. supra p. 5, 2 ‖ 8 *πάντα* om M | *ἦλθεν* CP | *ἦλθεν ἔχων* FEDW ‖ 10 *ὃν*] *ἃ* M ‖ 10. 11 *παρὰ τῆς Ἀπάτης ἐπεπόκει* M ‖ 13 *πρώτῳ* om M ‖ 15 *ὅτ'* A ‖ 20 *δοκοῦσιν εἶναι*] *δοκοῦσαι* M ‖ 21 *ἔχουσιν*] *ἔχουσαι* Dros. | *ἄπληστοί* FEDP ‖ 22 *καθάπερ* AM *ὥσπερ* reliqui ‖ 23 *ἔφη* P

Ἡ μὲν πρώτη Ἐπιστήμη, ἔφη, καλεῖται, αἱ δὲ ἄλλαι ταύτης ἀδελφαὶ Ἀνδρεία, Δικαιοσύνη, Καλοκἀγαθία, Σωφροσύνη, Εὐταξία, Ἐλευθερία, Ἐγκράτεια, Πραότης.

4 Ὦ κάλλιστε, ἔφην ἔγωγε, ὡς ἐν μεγάλῃ ἐλπίδι ἐσμέν.

Ἐὰν συνῆτε, ἔφη, καὶ ἕξιν περιποιήσησθε ὧν ἀκούετε.

Ἀλλὰ ποσέξομεν, ἔφην ἔγωγε, ὡς μάλιστα.

Τοιγαροῦν, ἔφη, σωθήσεσθε.

XXI. Ὅταν οὖν παραλάβωσιν αὐτὸν αὗται, ποῦ ἄγουσι;

Πρὸς τὴν μητέρα, ἔφη.

Αὕτη δὲ τίς ἐστιν;

Εὐδαιμονία, ἔφη.

Ποία δ' ἐστὶν αὕτη;

2 Ὁρᾷς τὴν ὁδὸν ἐκείνην τὴν φέρουσαν ἐπὶ τὸ ὑψηλὸν ἐκεῖνο, ὅ ἐστιν ἀκρόπολις τῶν περιβόλων πάντων;

Ὁρῶ.

3 Οὐκοῦν ἐπὶ τοῦ προπυλαίου γυνὴ καθεστηκυῖα εὐειδής τις κάθηται ἐπὶ θρόνου ὑψηλοῦ κεκοσμημένη ἐλευθέρως καὶ ἀπεριέργως καὶ ἐστεφανωμένη στεφάνῳ εὐανθεῖ πάνυ καλῷ;

1 ἐπιστήμη ἔφη AK ἔφη ἐπιστήμη reliqui | δ' B || 2 ταύτας P | ἀδελφαὶ om P | καὶ δικαιοσύνη CKP || 3 πραότης] πρώτως A πρώτης VLREDW[1]C[1]P πρῶτον γ'ρ ρώτης F[1] πραότης BW[2]C[2]K || 4 κάλλισται K || 5 περιποιήσησθε AVLRE περιποιήσεσθε FCKM περιποιήσεσθαι P πεποιήσησθε D πεποιήσοισθε W || 7 προσέξωμεν B | ἔφην ἔγωγε ὡς μάλιστα] ἔφην ὡς ἐγὼ μὴ μάλιστα A ἔφην ἔγωγε μάλιστα B ἔφην ὡς ἐγ' ὦμαι (sic) μάλιστα M ἔφην καὶ ἔγωγε καὶ (add sec man) κάλλιστα L ὡς μάλιστα ἔφην ἔγωγε K ἔφην ὡς ἔγωγε μάλιστα reliqui (sed litt. ὡς ἔγω in rasura D) || 10 ἄγουσι A ὑπάγουσι L ἀπάγουσιν BCPM ἀπάγουσι reliqui (in D ν erasum) || 11 πρὸς] εἰς M || 13 εὐδαιμονία γε F || 14 δ' AM δέ reliqui || 15. 16 τὸ ὑψηλὸν ἐκεῖνο] τὸν ὑψηλὸν τόπον M || 19 τις] τε F | καὶ κεκοσμημένη F || 20 περιέργως M || 21 καλῷ A καὶ ποικίλῳ M καλῶς reliqui

Ἐμφαίνει οὕτως.

Αὕτη τοίνυν ἐστὶν ἡ Εὐδαιμονία, ἔφη.

XXII. *Ὅταν οὖν ὧδέ τις παραγένηται, τί ποιεῖ;*

Στεφανοῖ αὐτόν, ἔφη, τῇ ἑαυτῆς δυνάμει ἥ τε Εὐδαιμονία καὶ αἱ ἄλλαι Ἀρεταὶ πᾶσαι ὥσπερ τοὺς νενικηκότας τοὺς μεγίστους ἀγῶνας.

Καὶ ποίους ἀγῶνας νενίκηκεν αὐτός; ἔφην ἐγώ.

Τοὺς μεγίστους, ἔφη, καὶ τὰ μέγιστα θηρία, ἃ 2
πρότερον αὐτὸν κατήσθιε καὶ ἐκόλαζε καὶ ἐποίει δοῦλον, ταῦτα πάντα νενίκηκε καὶ ἀπέρριψεν ἀφ' ἑαυτοῦ καὶ κεκράτηκεν ἑαυτοῦ, ὥστε ἐκεῖνα νῦν τούτῳ δουλεύουσι, καθάπερ οὗτος ἐκείνοις πρότερον.

XXIII. *Ποῖα ταῦτα λέγεις θηρία; πάνυ γὰρ ἐπιποθῶ ἀκοῦσαι.*

Πρῶτον μέν, ἔφη, τὴν Ἄγνοιαν καὶ τὸν Πλάνον. ἢ οὐ δοκεῖ σοι ταῦτα θηρία;

Καὶ πονηρά γε, ἔφην ἐγώ.

Εἶτα τὴν Λύπην καὶ τὸν Ὀδυρμὸν καὶ τὴν Φιλαρ- 2
γυρίαν καὶ τὴν Ἀκρασίαν καὶ τὴν λοιπὴν ἅπασαν Κακίαν. πάντων τούτων κρατεῖ καὶ οὐ κρατεῖται ὥσπερ πρότερον.

Ὢ καλῶν ἔργων, ἔφην ἐγώ, καὶ καλλίστης νίκης. 3

1 *ἐμφαίνει οὕτως* AMR^1 *ἐμφαίνει οὖν οὕτως* V *ἐμφαίνει οὕτως ἔχειν* CKP *ἐμφαίνει εἶναι οὕτως* BR^{2}FEDWC^2 mg *ἐμφαίνεται οὕτως* Drosihnus; vid. supra p. 15, 6 ‖ 2—5 *ἔφη — Εὐδαμονία* om W ‖ 3. 4 *ὅταν — ἔφη* om ED ‖ 3 *παραγίνεται* M ‖ 4 *τε* A om reliqui ‖ 5 *ἀρεταὶ πᾶσαι* A *πᾶσαι ἀρεταί* reliqui sed add (*στεφανοῦσι*) W ‖ 6 *νενικότας* AC^1 *νενικηκότας* C^2 reliqui sed obliteravit articulum erasit ς B^2 ‖ 9 *αὐτὸς* ED ‖ 10 *νενίκηκεν* BEDCP ‖ 11. 12 *δουλεύουσιν* EWP ‖ 12 *ἐκεῖνος* P ‖ 13 *ποῖα ταῦτα λέγεις θηρία* AM *ποῖα λέγεις ταῦτα τὰ θηρία* reliqui ‖ 13. 14 *ἐπιθυμῶ* BK ‖ 16 *ταῦτα θηρία* A *θηρία ταῦτα εἶναι* reliqui ‖ 18 post *ὀδυρμὸν* add *καὶ τὴν ὑπερηφάνειαν* M ‖ 20 *πρότερον* ABM *τὸ πρότερον* reliqui ‖ 21 *καλίστης* B *καλῆς τῆς* M *καλλίστης* reliqui *καλλίστης τῆς* corr C^2

ἀλλ' ἐκεῖνο ἔτι μοι εἰπέ· τίς ἡ δύναμις τοῦ στεφάνου, ᾧ ἔφης . . . στεφανοῦν αὐτόν;

4 *Εὐδαιμονική, ὦ νεανίσκε. ὁ γὰρ στεφανωθεὶς ταύτῃ τῇ δυνάμει εὐδαίμων γίνεται καὶ μακάριος καὶ οὐκ ἔχει ἐν ἑτέροις τὰς ἐλπίδας τῆς εὐδαιμονίας, ἀλλ' ἐν αὑτῷ.*

XXIV. *Ὡς καλὸν τὸ νίκημα λέγεις. ὅταν δὲ στεφανωθῇ, τί ποιεῖ ἢ ποῖ βαδίζει;*

2 *Ἄγουσιν αὐτὸν ὑπολαβοῦσαι αἱ Ἀρεταὶ πρὸς τὸν*
τόπον ἐκεῖνον, ὅθεν ἦλθε πρῶτον, καὶ δεικνύουσιν
αὐτῷ τοὺς ἐκεῖ διατρίβοντας ὡς κακῶς διατρίβουσι
καὶ ἀθλίως ζῶσι καὶ ὡς ναυαγοῦσιν ἐν τῷ βίῳ καὶ
πλανῶνται καὶ ἄγονται κατακεκρατημένοι ὥσπερ ὑπὸ
πολεμίων, οἱ μὲν ὑπ' Ἀκρασίας, οἱ δὲ ὑπ' Ἀλαζονείας,
οἱ δὲ ὑπὸ Φιλαργυρίας, ἕτεροι δὲ ὑπὸ Κενοδοξίας, οἱ
3 *δὲ ὑφ' ἑτέρων Κακῶν. ἐξ ὧν οὐ δύνανται ἐκλῦσαι*
ἑαυτοὺς τῶν δεινῶν, οἷς δέδενται, ὥστε σωθῆναι καὶ
ἀφικέσθαι ὧδε, ἀλλὰ ταράττονται διὰ παντὸς τοῦ βίου.
τοῦτο δὲ πάσχουσι διὰ τὸ μὴ δύνασθαι τὴν ἐνθάδε
ὁδὸν εὑρεῖν· ἐπελάθοντο γὰρ τὸ παρὰ τοῦ Δαιμονίου
πρόσταγμα.

XXV. *Ὀρθῶς μοι δοκεῖς λέγειν. ἀλλὰ καὶ τοῦτο πάλιν ἀπορῶ, διὰ τί δεικνύουσιν αὐτῷ τὸν τόπον ἐκεῖνον αἱ Ἀρεταί, ὅθεν ἥκει τὸ πρότερον.*

1 *ἔτι* om M | post *μοι* add *ἔφην* M || 2 *ᾧ*] *ὃν* M | *στεφανοῦν* libri *στεφανοῦσθαι* vulg., sed excidit, nisi fallor, *τὴν Εὐδαιμονίαν* vel *τὰς Ἀρετὰς* | *ἑαυτὸν* M || 4 *ἔχει·οὐκ* M || 5 *αὐτῷ* WM || 6 *ὡς*] *πῶς* M | *νίκημα*] *κίνημα* K || 7 *ἢ ποῖ* om P || 8 *ἄγουσαι* B || 9 *ἦλθεν* WP | *πρῶτον*] *πρότερον* K || 10 *ἐκεῖ* VK *κακῶς* reliqui | *κακῶς*] *εἰκῇ* M | *διατρίβουσι* om K || 11 *ἐν* om K || 13 *ὑπ'* ante *Ἀκρασίας* B *ὑπὸ* reliqui || 13. 14 *οἱ δὲ — κενοδοξίας* om W[1] add W[2] mg || 13 *ὑπὸ ἀλαζ.* M || 14 *οἱ* (alt.)] *ἕτεροι* K || 16 *αὐτοὺς* M || 17 *τοῦ βίου* om P || 18 *ἐνθάδε*] *ἐνταῦθα* M || 21 *δοκεῖ* C[1]P *δοκεῖς* corr C[2] *δοκεῖ* C[3] mg | *καὶ* om M

Οὐκ ἀκριβῶς ᾔδει οὐδὲ ἠπίστατο, ἔφη, οὐδὲν τῶν 2
ἐκεῖ, ἀλλ' ἐνεδοίαζε καὶ διὰ τὴν ἄγνοιαν καὶ τὸν πλά-
νον, ὃν δὴ ἐπεπώκει, τὰ μὴ ὄντα ἀγαθὰ ἐνόμιζεν
ἀγαθὰ εἶναι καὶ τὰ μὴ ὄντα κακὰ κακά. διὸ καὶ ἔζη 3
κακῶς, ὥσπερ οἱ ἄλλοι οἱ ἐκεῖ διατρίβοντες. νῦν δὲ
ἀπειληφὼς τὴν ἐπιστήμην τῶν συμφερόντων αὐτός τε
καλῶς ζῇ καὶ τούτους θεωρεῖ ὡς κακῶς πράσσουσιν.

XXVI. Ἐπειδὰν οὖν θεωρήσῃ πάντα, τί ποιεῖ ἢ ποῦ ἔτι βαδίζει;

Ὅπου ἂν βούληται, ἔφη. πανταχοῦ γὰρ ἔστιν αὐτῷ ἀσφάλεια ὥσπερ τῷ τὸ Κωρύκιον ἄντρον ἔχοντι, καὶ πανταχοῦ, οὗ ἂν ἀφίκηται, πάντα καλῶς βιώσεται μετὰ πάσης ἀσφαλείας. ὑποδέξονται γὰρ αὐτὸν ἀσμένως πάντες καθάπερ τὸν ἰατρὸν οἱ πάσχοντες.

Πότερον οὖν κἀκείνας τὰς γυναῖκας, ἃς ἔφης θηρία 2
εἶναι, οὐκέτι φοβεῖται, μή τι πάθῃ ὑπ' αὐτῶν;

Οὐ μὴ διοχληθήσεται οὐδὲν οὔτε ὑπὸ Ὀδύνης
οὔτε ὑπὸ Λύπης οὔτε ὑπ' Ἀκρασίας οὔτε ὑπὸ Φιλαρ-
γυρίας οὔτε ὑπὸ Πενίας οὔτε ὑπὸ ἄλλου Κακοῦ οὐδενός. 3
ἁπάντων γὰρ κυριεύει καὶ ἐπάνω πάντων ἐστὶ τῶν

1 οὐκ] οὐδὲν M | ἔφη om EDWM ‖ 4 εἶναι ἀγαθὰ F | alterum κακά om C^1 add C^2 ‖ 5 οἱ post ἄλλοι om V^1B corr V^2 ‖ 6 ἀνειληφὼς M ‖ 7 πράσσοντας P πράττουσιν D sed sscr σσ prima ut vid. manu, πράσσουσιν reliqui ‖ 9 ποῦ M ποῖ reliqui, sed statim optimi codd. ὅπου v. 10 et οὗ v. 12 | ἔτι om CKP ‖ 10 ὅποι WKM | βούλονται P ‖ 11 τῷ om BK τὸ om FEDW CP | κηρύκιον V κωρύκειον BEDWR^1CP κωρύκιον R^2FK κύριον M. Herodoti locum VIII 36 attulit Sauppeus p. 770 ‖ 12 οὗ VBRFCKP ὅπου ED ὅποι W | πάντως BRFEDW ‖ 13 μετὰ] κατὰ W | αὐτὸν om M ‖ 14 τῶν ἰατρῶν M | πάσχοντες] κάμνοντες M ‖ 16 πάθῃ sscr οι E^1 πάθοι DW ‖ 17 οὐδὲν οὐ μὴ διοχληθήσεται libri, ante οὐδὲν add διὸ M unde νὴ Δία coni Schweighaeuserus ‖ 18 ὑπ' Ἀκρασίας] ὑπὸ ἀκρ. K ὑπὸ κακοῦ M ‖ 19 ὑπ' ἄλλου B | οὐθενός VBRDECKPM ‖ 20 γὰρ om M

πρότερον αὐτὸν λυπούντων καθάπερ οἱ ἐχιοδεῖκται. τὰ γὰρ θηρία δήπου τὰ πάντας τοὺς ἄλλους κακοποιοῦντα μέχρι θανάτου ἐκείνους οὐ λυπεῖ διὰ τὸ ἔχειν ἀντιφάρμακον αὐτούς. οὕτω καὶ τοῦτον οὐκέτι οὐδὲν λυπεῖ διὰ τὸ ἔχειν ἀντιφάρμακον.

XXVII. *Καλῶς ἐμοὶ δοκεῖς λέγειν. ἀλλ' ἔτι τοῦτό
μοι εἰπέ. τίνες εἰσὶν οὗτοι οἱ δοκοῦντες ἐκεῖθεν ἀπὸ
τοῦ βουνοῦ παραγίνεσθαι; καὶ οἱ μὲν αὐτῶν ἐστεφα-
νωμένοι ἔμφασιν ποιοῦσιν εὐφροσύνης τινός, οἱ δὲ
ἀστεφάνωτοι λύπης καὶ ταραχῆς καὶ τὰς κνήμας καὶ
2 τὰς κεφαλὰς δοκοῦσι τετρῖφθαι, κατέχονται δὲ ὑπὸ
γυναικῶν τινων.*

*Οἱ μὲν ἐστεφανωμένοι οἱ σεσωσμένοι εἰσὶ πρὸς
3 τὴν Παιδείαν καὶ εὐφραίνονται τετυχηκότες αὐτῆς. οἱ
δὲ ἀστεφάνωτοι οἱ μὲν ἀπεγνωσμένοι ὑπὸ τῆς Παι-
δείας ἀνακάμπτουσι κακῶς καὶ ἀθλίως διακείμενοι· οἱ
δὲ ἀποδεδειλιακότες καὶ οὐκ ἀναβεβηκότες πρὸς τὴν
Καρτερίαν πάλιν ἀνακάμπτουσι καὶ πλανῶνται ἀνοδίᾳ.*

1 *ἐχιόδηκτοι* libri *viperarii (prehendunt manibus suis serpentes)* 𝔄; de virorum doctorum coniecturis refert Drosihnus praef. p. XII; *ἐχιοδεῖκται* Is. Casaubonus approbante Sauppeo, qui praeterea proponit *ἐχιοδαῖται* (p. 776). An fuit apud veteres opinio eos qui serpentis morsui supervixissent, ab eius bestiae impetu immunes esse? Quod si testimoniis confirmetur, ut *ἐχιόδηκτοι* sic statim (v. 4) *τοῦτο* (ex *ἐχιόδηκτοι* intell. *τὸ δεδῆχθαι*) servari possit ‖ 2 *δήπου* om F | *τὰ* (alterum) M om reliqui ‖ 4 *αὐτοὺς ἀντιφάρμακον* F ‖ 4. 5 *αὐτούς — ἀντιφάρμακον* om W[1] add W[2] mg ‖ 4 *οὕτω*] coni Schweighaeuserus *τούτους* W[2] supra versum, *τοῦτο* reliqui | *οὐκέτι* om CKP ‖ 5 *οὐθὲν* libri omnes | ante *ἀντιφάρμακον* add *τὸ* M ‖ 6 *καλῶς ἐμοὶ*] *οὔμοι* M ‖ 8 *αὐτῶν* om B *αὐτὸν* P ‖ 10 *λύπης καὶ ταραχῆς* VM *ἀπεγνωσμένοι τε* BRFEDW *οἱ μὲν ἀπεγνωσμένοι* CKP ‖ 11 *δὲ καὶ* BRFEDW ‖ 13—15 *εἰσὶ — ἀπεγνωσμένοι* om P ‖ 16 *ἀνακάμπτουσιν* P ‖ 17 *δὲ*] *γὰρ* W | *οὐκ*] *μὴ* W om reliqui *neque ascenderunt* 𝔄 *οὐκ* inseruit Sauppeus p. 775 ‖ 18 *ἀνακάμπτουσιν* P *ἀνακάπτουσιν* B

Αἱ δὲ γυναῖκες αἱ μετ' αὐτῶν ἀκολουθοῦσαι τίνες 4
εἰσὶν αὗται;
Λῦπαι, ἔφη, καὶ Ὀδύναι καὶ Ἀθυμίαι καὶ Ἀδοξίαι
καὶ Ἄγνοιαι.

XXVIII. Πάντα κακὰ λέγεις αὐτοῖς ἀκολουθεῖν.
Νὴ Δία πάντα, ἔφη, ἐπακολουθοῦσιν. ὅταν δὲ
οὗτοι παραγένωνται εἰς τὸν πρῶτον περίβολον πρὸς
τὴν Ἡδυπάθειαν καὶ τὴν Ἀκρασίαν, οὐχ ἑαυτοὺς 2
αἰτιῶνται, ἀλλ' εὐθὺς κακῶς λέγουσι καὶ τὴν Παιδείαν
καὶ τοὺς ἐκεῖσε βαδίζοντας, ὡς ταλαίπωροι καὶ ἄθλιοί
εἰσι καὶ κακοδαίμονες, οἳ τὸν βίον τὸν παρ' αὐταῖς
ἀπολιπόντες κακῶς ζῶσι καὶ οὐκ ἀπολαύουσι τῶν παρ'
αὐταῖς ἀγαθῶν.
Ποῖα δὲ λέγουσιν ἀγαθὰ εἶναι; 3
Τὴν ἀσωτίαν καὶ τὴν ἀκρασίαν, ὡς εἴποι ἄν τις
ἐπὶ κεφαλαίου. τὸ γὰρ εὐωχεῖσθαι βοσκημάτων τρό-
πον ἀπόλαυσιν μεγίστων ἀγαθῶν ἡγοῦνται εἶναι.

XXIX. Αἱ δὲ ἕτεραι γυναῖκες αἱ ἐκεῖθεν παρα-
γινόμεναι ἱλαραί τε καὶ γελῶσαι τίνες καλοῦνται;
Δόξαι, ἔφη, καὶ ἀγαγοῦσαι πρὸς τὴν Παιδείαν τοὺς 2
εἰσελθόντας πρὸς τὰς Ἀρετὰς ἀνακάμπτουσιν, ὅπως

1 *μετ'*] *κατ'* W ‖ 5 *πάντα τὰ* BRFEDW | *κακὰ* ED *καλὰ* sscr *κ* FW ‖ 6 *καὶ ἐπακολουθοῦσιν* M ‖ 6. 7 *οὗτοι δὲ ὅταν* M ‖ 7 *παραγίνωνται* FM, in D utrum *ε* scriptum fuerit an *ι* cognosci nequit ‖ 8 *τὴν* ante *Ἀκρασίαν* om M | *οὐχὶ αὐτοὺς* C *οὐχὶ αὐτοὺς* VKP ‖ 11 *εἰσι* om M | *αὐτοῖς* K et (ex *αἷς* corr) RC^{2} *αὐτοῖς* repetit C mg rec ‖ 12 *καταλιπόντες* M ‖ 13 *αὐταῖς* F *αὐτοῖς* reliqui *recedere ab huiusmodi vita deliciarum plena in qua nos sumus* 𝔄 ‖ 14 *δὲ*] *γὰρ* M ‖ 15 *εἴπῃ* V | *τις ἂν* B ‖ 16 *τρόπον*] sscr *ν* supra *ν* W^{2} *τρόπῳ* M ‖ 17 *ἀπόλαυσιν . . ἀγαθῶν*] *καὶ ἀπολαύειν μέγιστα ἀγαθὰ* M idem sed om *καὶ* F ‖ 18. 19 *παραγιγνόμεναι* K *παραγενόμεναι* BM | *αἱ δὲ ἐκεῖθεν παραγενόμεναι ἕτεραι γυναῖκες* M | post *τίνες* add *αὗται* B ‖ 20 *ἀγοῦσαι* C sed mg rec man *ἀγαγοῦσαι* ‖ 21 *ἀνακύπτουσιν* M

ἑτέρους ἀγάγωσι, καὶ ἀναγγέλλουσιν, ὅτι εὐδαίμονες ἤδη γεγόνασιν οὓς τότε ἀπήγαγον.

3 Πότερον οὖν, ἔφην ἐγώ, αὗται εἴσω πρὸς τὰς Ἀρετὰς ⟨οὐκ⟩ εἰσπορεύονται;

[Ἔφη οὔ.] Οὐ γὰρ θέμις Δόξαν εἰσπορεύεσθαι πρὸς τὴν Ἐπιστήμην, ἀλλὰ τῇ Παιδείᾳ παραδιδόασιν
4 αὐτούς. εἶτα ὅταν ἡ Παιδεία παραλάβῃ, ἀνακάμπτουσιν αὗται πάλιν ἄλλους ἄξουσαι, ὥσπερ αἱ νῆες τὰ φορτία ἐξελόμεναι πάλιν ἀνακάμπτουσι καὶ ἄλλων τινῶν γεμίζονται.

XXX. Ταῦτα μὲν δὴ καλῶς μοι δοκεῖς, ἔφην, ἐξηγεῖσθαι. ἀλλ' ἐκεῖνο οὐδέπω ἡμῖν δεδήλωκας, τί προστάττει τὸ Δαιμόνιον τοῖς εἰσπορευομένοις εἰς τὸν Βίον ποιεῖν.

2 Θαρρεῖν, ἔφη. διὸ καὶ ὑμεῖς θαρρεῖτε· πάντα γὰρ ἐξηγήσομαι καὶ οὐδὲν παραλείψω.

Καλῶς λέγεις, ἔφην ἐγώ.

3 Ἐκτείνας οὖν τὴν χεῖρα πάλιν, Ὁρᾶτε, ἔφη, τὴν γυναῖκα ἐκείνην, ἣ δοκεῖ τυφλή τις εἶναι καὶ ἐπὶ λίθου στρογγύλου ἑστάναι, ἣν καὶ ἄρτι ὑμῖν εἶπον ὅτι Τύχη καλεῖται;

Ὁρῶμεν.

XXXI. Ταύτῃ κελεύει, ἔφη, μὴ πιστεύειν καὶ βέβαιον μηδὲν νομίζειν μηδὲ ἀσφαλὲς εἶναι, ὅ τι ἂν

1 ἀγάγωσιν EDW | ἀναγγέλουσιν V¹W ἀναγγέλλουσιν V²B RFEDM ἀναγγέλωσιν CP ἀναγγείλωσιν K ‖ 4 οὐκ inserui | ἐκπορεύονται M ‖ 5 ἔφη οὔ libri, delevit Drosihnus, *veniam roga dominum tuum* 𝔄 ‖ 6 παραδίδωσιν F ‖ 7 αὐτοὺς M ‖ 8 αὐταὶ F ‖ 9 ἐξελούμεναι M | ἀνακάμπτουσιν CP ἀνακάπτουσιν B ‖ 11 ἔφην om M ‖ 11. 12 ἐξηγῆσθαι P ‖ 15 ἔφην P | ἡμεῖς CK idem sed sscr υ B ὑμεῖς sed υ in ras P ‖ 16 ante ἐξηγήσομαι add ὑμῖν M | παραλείψω] ἀποκρύψω M ‖ 20 ἐφεστάναι P | εἶπον ὑμῖν B ‖ 23 αὔτη M ‖ 24 νομίζειν] πιστεύειν CK del. Sauppeus p. 776 | εἶναι] ἔχειν CK

παρ αὐτῆς τις λάβῃ μηδὲ ὡς ἴδια ἡγεῖσθαι. οὐδὲν γὰρ 2
κωλύει πάλιν ταῦτα ἀφελέσθαι καὶ ἑτέρῳ δοῦναι.
πολλάκις γὰρ εἴωθε τοῦτο ποιεῖν. καὶ διὰ ταύτην οὖν
τὴν αἰτίαν κελεύει πρὸς τὰς παρ' αὐτῆς δόσεις ἴσους
γίνεσθαι καὶ μήτε χαίρειν ὅταν διδῷ μήτε ἀθυμεῖν
ὅταν ἀφέληται καὶ μήτε ψέγειν αὐτὴν μήτε ἐπαινεῖν.
οὐδὲν γὰρ ποιεῖ μετὰ λογισμοῦ, ἀλλ' εἰκῇ καὶ ὡς 3
ἔτυχε πάντα, ὥσπερ πρότερον ὑμῖν ἔλεξα. διὰ τοῦτο
οὖν τὸ Δαιμόνιον κελεύει μὴ θαυμάζειν, ὅ τι ἂν πράττῃ
αὕτη, μηδὲ γίνεσθαι ὁμοίους τοῖς κακοῖς τραπεζίταις.
καὶ γὰρ ἐκεῖνοι ὅταν μὲν λάβωσι τὸ ἀργύριον παρὰ 4
τῶν ἀνθρώπων, χαίρουσι καὶ ἴδιον νομίζουσιν εἶναι,
ὅταν δὲ ἀπαιτῶνται, ἀγανακτοῦσι καὶ δεινὰ οἴονται
πεπονθέναι, οὐ μνημονεύοντες, ὅτι ἐπὶ τούτῳ ἔλαβον
τὰ θέματα, ἐφ' ᾧ οὐδὲν κωλύει τὸν θέμενον πάλιν
κομίσασθαι. ὡσαύτως τοίνυν κελεύει ἔχειν τὸ Δαι- 5
μόνιον καὶ πρὸς τὴν παρ' αὐτῆς δόσιν καὶ μνημονεύειν,
ὅτι τοιαύτην φύσιν ἔχει ἡ Τύχη, ὥστε ἃ δέδωκεν ἀφε-
λέσθαι καὶ ταχέως πάλιν δοῦναι πολλαπλάσια, αὖθις
δὲ ἀφελέσθαι ἃ δέδωκεν, οὐ μόνον δέ, ἀλλὰ καὶ τὰ

1 *τις* ignorant libri omnes, editores vulgo inserunt post *λάβῃ* | *λάβοι* FEDW || 2 *πάλιν ταῦτα ἀφελέσθαι* VP *π. ἀφ. ταῦτα* BREDW *π. ἀφ. αὐτὰ* F *ταῦτα π. ἀφ.* CK | *διδόναι* CK || 3 *γὰρ* om K | *τοῦτο εἴωθε* CK | *οὖν* CK om reliqui || 4 *παρ'* om CK | *ἑαυτῆς* CK | *ἴσους* VBRFEDP *ὕσουν* W *ἥττους* CK *ἥττω* M cf. quae attuli in dissertatione 'Cebetis Tab. quanam aetate conscr. esse vid.' Marb. 1885 p. 49 || 5 post *γίνεσθαι* add *οἷον πῶς ἴσους γίνεσθαι* VBR | *καὶ* CK om reliqui || 7 *ἀλλὰ* RF EDWPM || 9 *πράττοι* EDWCM *πρα* sscr *ττ'* F | 12 *χαίρουσιν* B || 13 *δεινὰ οἴονται*] *δεινὸν βίον τε* P || 14 *τοῦτο* M | *ἐλάμβανον* M sed *ἔλαβον* mg || 15 *κωλύει* VBRFEDWCM *κωλύειν* KP. Estne scribendum *κωλύσει*? || 16 *ἔχειν*] *ἔφη* BRFEDW || 17 *καὶ* (alterum) om VBRFEDWP || 18 *ἔχει φύσιν* CK || 20 ante *ἀφελέσθαι* add *μόνον* CKM, *οὐ μόνον* deleto *δὲ* ante *ἃ δέδωκεν* transponit Anonym. Litter. Centralbl. 1871 p. 1111

6 προϋπάρχοντα. ἃ γοῦν δίδωσι, λαβεῖν κελεύει παρ'
αὐτῆς καὶ συντόμως ἀπελθεῖν βλέποντας πρὸς τὴν
βεβαίαν καὶ ἀσφαλῆ δόσιν.

XXXII. Ποίαν ταύτην; ἔφην ἐγώ.

Ἣν λήψονται παρὰ τῆς Παιδείας, ἣν διασωθῶσιν ἐκεῖ.

Αὕτη οὖν τίς ἐστιν;

2 Ἡ ἀληθὴς ἐπιστήμη τῶν συμφερόντων, ἔφη, καὶ
3 ἀσφαλὴς δόσις καὶ βεβαία καὶ ἀμεταμέλητος. φεύγειν
οὖν κελεύει συντόμως πρὸς ταύτην, καὶ ὅταν ἔλθωσι
πρὸς τὰς γυναῖκας ἐκείνας, ἃς καὶ πρότερον εἶπον ὅτι
Ἀκρασία καὶ Ἡδυπάθεια καλοῦνται, καὶ ἐντεῦθεν κε-
λεύει συντόμως ἀπαλλάττεσθαι καὶ μὴ πιστεύειν μηδὲ
ταύταις μηδέν, ἕως ἂν πρὸς τὴν Ψευδοπαιδείαν ἀφί-
4 κωνται. κελεύει οὖν αὐτοῦ χρόνον τινὰ ἐνδιατρῖψαι
καὶ λαβεῖν ὅ τι ἂν βούλωνται παρ' αὐτῆς ὥσπερ ἐφό-
διον, εἶτα ἐντεῦθεν ἀπιέναι πρὸς τὴν ἀληθινὴν Παι-
5 δείαν συντόμως. ταῦτά ἐστιν ἃ προστάττει τὸ Δαι-
μόνιον. ὅστις τοίνυν παρ' αὐτά τι ποιεῖ ἢ παρακούει,
ἀπόλλυται κακὸς κακῶς.

XXXIII. Ὁ μὲν δὴ μῦθος, ὦ ξένοι, ὁ ἐν τῷ πίνακι τοιοῦτος ἡμῖν ἐστιν. εἰ δὲ δεῖ τι προσπυθέσθαι περὶ ἑκάστου τούτων, οὐδεὶς φθόνος· ἐγὼ γὰρ ὑμῖν φράσω.

1 διδῶ CK | κελεύει λαμβάνειν CK κελεύειν λαμβάνει M || 2 αὐτῆς] αὐτοῖς M | βλέποντας] ***ποντας P ἔχοντα CK || 5 παρὰ τῆς] παρ' αὐτῆς W | supra ἣν sscr ἐὰν W² || 7 τίς] τί F || 8 ἔφη τῶν συμφερόντων CK || 9 ἀμετάβλητος CK || 11 ἐκείνας om P || 12 εὐκρασία V || 13. 14 καὶ . . . μηδέν eiec. Dros. || 14 ταύτας FEDW¹ αι sscr W² | ἕως κτλ. *Ubi etiam perveniant . . . . , ut incumbant in eam aliquo spatio temporis* 𝔄 || 15 αὐτοῦ coni Sauppeus p. 776 αὐτῆς P αὐτοῖς reliqui || 15. 16 κελεύει—βούλωνται om M || 17 ἐπιέναι K || 18 ταῦτ' CK ταυτά P | προστάσσει C || 20 κακός om M || 22 καὶ τοιοῦτος W | ὑμῖν C εἰμῖν W | δὲ] δὴ P | τι om P

Καλῶς λέγεις, ἔφην ἐγώ. ἀλλὰ τί κελεύει αὐτοὺς 2
τὸ Δαιμόνιον λαβεῖν παρὰ τῆς Ψευδοπαιδείας;

Ταῦτα ἃ δοκεῖ εὔχρηστα εἶναι.

Ταῦτ' οὖν τίνα ἐστί;

Γράμματα, ἔφη, καὶ τῶν ἄλλων μαθημάτων ἃ καὶ 3
Πλάτων φησὶν ὡσανεὶ χαλινοῦ τινος δύναμιν ἔχειν
τοῖς νέοις, ἵνα μὴ εἰς ἕτερα περισπῶνται.

Πότερον δὲ ἀνάγκη ταῦτα λαβεῖν, εἰ μέλλει τις 4
ἥξειν πρὸς τὴν ἀληθινὴν Παιδείαν; ἢ οὔ;

Ἀνάγκη μὲν οὐδεμία, ἔφη, χρήσιμα μέντοι ἐστὶ πρὸς τὸ συντομωτέρως ἐλθεῖν. πρὸς δὲ τὸ βελτίους γενέσθαι οὐδὲν συμβάλλεται ταῦτα.

Οὐδὲν ἄρα, ἔφην, λέγεις ταῦτα χρήσιμα εἶναι πρὸς 5
τὸ βελτίους γενέσθαι ἄνδρας;

Ἔστι γὰρ καὶ ἄνευ τούτων βελτίους γενέσθαι,
ὅμως δὲ οὐκ ἄχρηστα κἀκεῖνά ἐστιν. ὡς γὰρ δι' ἑρμη- 6
νέως συμβάλλομεν τὰ λεγόμενά ποτε, ὅμως μέντοι γε οὐκ ἄχρηστον ἦν ἡμᾶς καὶ αὐτοὺς τὴν φωνὴν εἰδέναι, ἀκριβέστερον γὰρ ἄν τι συνήκαμεν, οὕτω καὶ ἄνευ τούτων τῶν μαθημάτων οὐδὲν κωλύει ⟨βελτίους⟩ γενέσθαι . . . .

2 παρὰ τῆς] παρ' αὐτῆς P ‖ 3 ταῦθ' CK ‖ 4 ταῦτ' VCK ταῦτα reliqui | ἔστιν B ‖ 6 πλάττων E. Laudatur Plat. leg. p. 808 de | χαληνοῦ FEW | ἔχει W ‖ 8 δὲ om P | εἰ] ἢ P | μέλλοι K ‖ 10 μὲν οὐδεμία om P | χρῆμα VRFEDW^1P χρήματα B^1 χρήσιμα B^2W^2CK ‖ 11 συντομώτερον BRFEDW^1P | πρὸς . . . ἐλθεῖν om CK oblit W^2 | τὸ (alterum) om P ‖ 12 συμβάλλει VB REDW^1P συμβα sscr λλ' F συμβάλλεται CKW^2 ‖ 13 οὐδὲν KW^2 οὐθὲν W^1 reliqui | ἄρα ἔφην VP εἶναι ἔφην RFEDW ἄνδρας ἔφην (v. 14) B ἔφην om CK ‖ 18 ante ἦν inser. ἂν Sauppeus | αὐτοὺς CK αὐτὴν P αὐτῶν reliqui ‖ 19 ἀκριβεστέραν ἔχειν ἄν τι συνήκαμεν omisso εἰδέναι CK | οὕτως VCKP ‖ 20 οὐθὲν V BREDW | κωλύει BDW κωλύσει reliqui | βελτίους inserui ‖ 21 post γενέσθαι nonnulla exciderunt, quorum sententia haec erat: neque tamen inutilia haec sunt, cum viam ad morum

XXXIV. *Πότερον οὖν οὐδὲ προέχουσιν οὗτοι οἱ μαθηματικοὶ πρὸς τὸ βελτίους γενέσθαι τῶν ἄλλων ἀνθρώπων;*

2 *Πῶς ⟨γὰρ⟩ μέλλουσι προέχειν, ἐπειδὰν φαίνωνται ἠπατημένοι περὶ ἀγαθῶν καὶ κακῶν ὥσπερ καὶ οἱ*
3 *ἄλλοι καὶ ἔτι κατεχόμενοι ὑπὸ πάσης κακίας; οὐδὲν γὰρ κωλύει εἰδέναι μὲν γράμματα καὶ κατέχειν τὰ μαθήματα πάντα, ὁμοίως δὲ μέθυσον καὶ ἀκρατῆ εἶναι καὶ φιλάργυρον καὶ ἄδικον καὶ προδότην καὶ τὸ πέρας ἄφρονα.*

4 *Ἀμέλει πολλοὺς τοιούτους ἔστιν ἰδεῖν.*

Πῶς οὖν οὗτοι προέχουσιν, ἔφη, εἰς τὸ βελτίους ἄνδρας γενέσθαι ἕνεκα τούτων τῶν μαθημάτων;

XXXV. *Οὐδαμῶς φαίνεται ἐκ τούτου τοῦ λόγου. ἀλλὰ τί ἐστιν, ἔφην ἐγώ, τὸ αἴτιον, ὅτι ἐν τῷ δευτέρῳ περιβόλῳ διατρίβουσιν ὥσπερ ἐγγίζοντες πρὸς τὴν ἀληθινὴν Παιδείαν;*

2 *Καὶ τί τοῦτο ὠφελεῖ αὐτούς, ἔφη, ὅτε πολλάκις ἔστιν ἰδεῖν παραγινομένους ἐκ τοῦ πρώτου περιβόλου ἀπὸ τῆς Ἀκρασίας καὶ τῆς ἄλλης Κακίας εἰς τὸν τρίτον περίβολον πρὸς τὴν Παιδείαν τὴν ἀληθινήν, οἳ τούτους τοὺς μαθηματικοὺς παραλλάττουσιν; ὥστε πῶς ἔτι προέχουσιν ἄρα, εἰ ἀκινητότεροι ἢ δυσμαθέστεροί εἰσι;*

correctionem muniant; ultimum vocabulum litteris *σθαι* videtur terminatum fuisse; fort. *ἀφικέσθαι* cf. v. 11. Sauppeus p. 776 post *οὕτω καὶ* (v. 19) add *ἐκεῖνα οὐκ ἄχρηστά ἐστι πρὸς τὸ βελτίους γενέσθαι, ἀλλὰ καὶ*

1 *οὖν* om CKV | *οὐδὲ* VBRFEDP *οὐδὲν* reliqui ‖ 4 *φαίνονται* M ‖ 5 *περὶ τῶν* W ‖ 12 *προσέχουσιν* M ‖ 13 *ἄνδρες* BRFEP ‖ 14 *τὰ ἐκ* P ‖ 15 *τὸν αἴτιον* P ‖ 18 *ἔφην* VBRFEDP *ἔφην οὐδὲν ἔφη* W | *ὅτε* R sed *ε* in rasura *ὅτι* W *ὅταν* reliqui *ὅτε* Sauppeus ex coni p. 775 ‖ 19 *παραγιγνομένους* C ‖ 23 *εἰ*] *ἢ* CK | *εὐκινητότεροι* VBFEDW *ἀκινητώτεροι* P *ἀκινητότεροι* reliqui | *ἀμαθέστεροι* P

Πῶς τοῦτο; ἔφην ἐγώ. 3
*Ὅτι οἱ ⟨μὲν⟩ ἐν τῷ πρώτῳ περιβόλῳ . . . . . ., ⟨οἱ
δ' ἐν τῷ δευτέρῳ περιβόλῳ,⟩ εἰ μηδὲν ἄλλο, ὃ προσ-
ποιοῦνταί γε ἐπίστασθαι οὐκ οἴδασιν. ἕως δ' ἂν ἔχωσι
ταύτην τὴν δόξαν, ἀκινήτους αὐτοὺς ἀνάγκη εἶναι πρὸς
τὸ ὁρμᾶν πρὸς τὴν ἀληθινὴν Παιδείαν. εἶτα τὸ ἕτερον* 4
*οὐχ ὁρᾷς, ὅτι καὶ αἱ Δόξαι ἐκ τοῦ πρώτου περιβόλου
εἰσπορεύονται πρὸς αὐτοὺς ὁμοίως; ὥστε οὐδὲν οὗτοι
ἐκείνων βελτίους εἰσίν, ἐὰν μὴ καὶ τούτοις συνῇ ἡ
Μεταμέλεια καὶ πεισθῶσιν, ὅτι οὐ παιδείαν ἔχουσιν,
ἀλλὰ ψευδοπαιδείαν, δι' ἣν ἀπατῶνται. οὕτω δὲ δια-* 5
*κείμενοι οὐκ ἄν ποτε σωθεῖεν. καὶ ὑμεῖς τοίνυν, ὦ
ξένοι, ἔφη, οὕτω ποιεῖτε καὶ ἐνδιατρίβετε τοῖς λεγο-
μένοις, μέχρι ἂν ἕξιν λάβητε. ἀλλὰ περὶ τῶν αὐτῶν
πολλάκις δεῖ ἐπισκοπεῖν καὶ μὴ διαλείπειν, τὰ δ' ἄλλα
πάρεργα ἡγήσασθαι. εἰ δὲ μή, οὐδὲν ὄφελος ὑμῖν
ἔσται ὧν νῦν ἀκούετε.*

XXXVI. *Ποιήσομεν. τοῦτο δὲ ἐξήγησαι, πῶς οὐκ ἔστιν ἀγαθά, ὅσα λαμβάνουσιν οἱ ἄνθρωποι παρὰ τῆς Τύχης, οἷον τὸ ζῆν, τὸ ὑγιαίνειν, τὸ πλουτεῖν, τὸ*

1 *τοῦτ'* F | *ἔφην τοῦτο ἐγώ* CK ‖ 2 *οἱ* om CKM | *μὲν* ignorant libri | *πρώτῳ*] *δεύτερῳ* K | lacunam non indicant libri; *οὐ προσποιοῦνται ἐπίστασθαι, ἃ οὐκ οἴδασιν, οἱ δ' ἐν τῷ δευτέρῳ περιβόλῳ* suppl Drosihnus ‖ 3 *εἰ μηδὲν ἄλλο*] *μηδὲν ἄλλο εἰ μὴ* W ‖ 4 *γε* om EDW ‖ 8 *οὐθὲν* libri ‖ 9 *ἡ* om libri ‖ 11 *δι' ἧς* R | *δὲ* om K ‖ 12. 13 *ἔφη ὦ ξένοι* K | *οὕτω . . . ἐνδιατρίβετε* Wolfius ex coni, *ἐὰν μὴ οὕτως ποιῆτε καὶ ἐνδιατρίβητε* K *ἐὰν μὴ οὕτω ποιῆτε καὶ μὴ ἐνδιατρίβητε* W (prius *μὴ* supra versum 1. an 2. m.?) *ἐὰν οὕτω* (*οὕτως* VCM) *ποιῆτε καὶ ἐνδιατρίβητε* reliqui. *Vos igitur . . . insistite hanc viam ac vosmet ipsos . . . multopere exercitote* 𝔄 *vos . . . ita facite et . . . attendite* O ‖ 14 *μέχρι* V¹ *μέχρις* V² reliqui | *λαβεῖν* libri ‖ 15 *δὲ* CK ‖ 16 *ἡγεῖσθαι* F | *ὑμῖν* om CK add C mg ‖ 16. 17 *ἔσται ὑμῖν* M ‖ 18 *ποιήσωμεν* VP *ὅτω ποιήσομεν* K

εὐδοκιμεῖν, τὸ τέκνα ἔχειν, τὸ νικᾶν καὶ ὅσα τούτοις
2 παραπλήσια; ἢ πάλιν τὰ ἐναντία πῶς οὐκ ἔστι κακά; πάνυ γὰρ παράδοξον ἡμῖν καὶ ἄπιστον δοκεῖ τὸ λεγόμενον.

Ἄγε τοίνυν, ἔφη, πειρῶ ἀποκρίνασθαι τὸ φαινόμενον περὶ ὧν ἄν σε ἐρωτῶ.

3 Ἀλλὰ ποιήσω τοῦτο, ἔφην ἐγώ.

Πότερον οὖν, ἐὰν κακῶς τις ζῇ, ἀγαθὸν ἐκείνῳ τὸ ζῆν;

Οὔ μοι δοκεῖ, ἀλλὰ κακόν, ἔφην ἐγώ.

Πῶς οὖν ἀγαθόν ἐστι τὸ ζῆν, ἔφη, εἴπερ τούτῳ ἐστὶ κακόν;

4 Ὅτι τοῖς μὲν κακῶς ζῶσι κακόν μοι δοκεῖ εἶναι, τοῖς δὲ καλῶς ἀγαθόν.

Καὶ κακὸν ἄρα λέγεις τὸ ζῆν καὶ ἀγαθὸν εἶναι;

Ἔγωγε.

XXXVII. Μὴ οὖν ἀπιθάνως λέγε. ἀδύνατον τὸ αὐτὸ πρᾶγμα κακὸν καὶ ἀγαθὸν εἶναι. τοῦτο μὲν γὰρ καὶ ὠφέλιμον καὶ βλαβερὸν ἂν εἴη καὶ αἱρετὸν καὶ φευκτὸν τὸ αὐτὸ πρᾶγμα ἀεί.

2 Ἀπίθανον μέν. ἀλλὰ πῶς οὐχὶ τὸ κακῶς ζῆν, ᾧ ἂν ὑπάρχῃ, κακόν τι αὐτῷ ὑπάρχει; οὐκοῦν εἰ κακόν τι ὑπάρχει αὐτῷ, κακὸν αὐτὸ τὸ ζῆν ἐστιν.

1 *εὐδοκεῖν* V¹RFEP *εὐδοξεῖν* CK *εὐδοκιμεῖν* V² reliqui | *τὸ* ante *τέκνα* in ras V² *δὲ* add P | ante *ὅσα* add *τὰ λοιπὰ* CK | 2 *ἔστιν* P ‖ 3 *ἡμῖν παράδοξον* CK | *τὸ* om K ‖ 5 *πειρῶ ἔφη* CK *ἔφη* om W ‖ 6 *σε* om B ‖ 8. 9 *πότερον . . . ἐγώ* om B ‖ 8 *ἐὰν*] *κἂν* CK | *τις* om K ‖ 10 *τοῦτο* VR¹C *γρ τούτω* R² mg ‖ 12 *ζῶσιν* B ‖ 16 *οὖν* om P | post *ἀδύνατον* add *γὰρ* CK ‖ 17 ante *κακὸν* add *καὶ* CK | *τοῦτο*] *οὕτω* CK ‖ 19 *τὸ αὐτὸ πρᾶγμα*] *ἅμα* CK ‖ 20 *οὐχὶ*] *οὐκ εἰ* CKM sed in C *κ* rec man et *εἰ* in rasura | *κακῶς*] *κακὸν* P ‖ 21 *ὑπάρχῃ*] *ὑπάρχοι* (*οι* in rasura) K *ὑπάρχει* P | *αὐτοῦ* P | *ὑπάρχει*] *ὑπάρχῃ* P ‖ 21. 22 *αὐτῷ . . . τι* om CK ‖ 22 *αὐτὸ* ante *τὸ ζῆν* VBRCP *αὐτὸ* sscr *ῶ* K¹ *αὐτῶ* sscr *ὸ* F

Ἀλλ' οὐ ταὐτό, ἔφη, ὑπάρχει τὸ ζῆν καὶ τὸ κακῶς ζῆν. ἢ οὔ σοι φαίνεται;

Ἀμέλει οὐδ' ἐμοὶ δοκεῖ ταὐτὸ εἶναι.

Τὸ κακῶς τοίνυν ζῆν κακόν ἐστι, τὸ δὲ ζῆν οὐ 3
κακόν. ἐπεὶ εἰ ἦν κακόν, τοῖς ζῶσι καλῶς κακὸν ἂν ὑπῆρχεν, ἐπεὶ τὸ ζῆν αὐτοῖς ὑπῆρχεν, ὅπερ ἐστὶ κακόν.

Ἀληθῆ μοι δοκεῖς λέγειν.

XXXVIII. *Ἐπεὶ τοίνυν ἀμφοτέροις συμβαίνει τὸ ζῆν, καὶ τοῖς καλῶς ζῶσι καὶ τοῖς κακῶς, οὐκ ἂν εἴη οὔτε ἀγαθὸν εἶναι τὸ ζῆν οὔτε κακόν· ὥσπερ οὐδὲ τὸ τέμνειν καὶ καίειν ἐν τοῖς ἀρρωστοῦσίν ἐστι νοσερὸν καὶ ὑγιεινόν, ἀλλὰ τὸ πῶς τέμνειν, οὐκοῦν οὕτω καὶ ἐπὶ τοῦ ζῆν οὐκ ἔστι κακὸν αὐτὸ τὸ ζῆν ἀλλὰ τὸ κακῶς ζῆν.*

Ἔστι ταῦτα. 2

Εἰ τοίνυν οὕτως <*ἔχει*>, *θεώρησον, πότερον ἂν βούλοιο ζῆν κακῶς ἢ ἀποθανεῖν καλῶς καὶ ἀνδρείως.*

Ἀποθανεῖν ἔγωγε καλῶς.

Οὐκοῦν οὐδὲ τὸ ἀποθανεῖν κακόν ἐστιν, εἴπερ 3
αἱρετώτερόν ἐστι πολλάκις τὸ ἀποθανεῖν τοῦ ζῆν.

Ἔστι ταῦτα.

Οὐκοῦν ὁ αὐτὸς λόγος καὶ περὶ τοῦ ὑγιαίνειν καὶ 4

1 *ταυτὸν* F *τὸ αὐτὸ* CK | ante *ὑπάρχει* add *κακὸν* CKM | *καὶ τὸ*] *τῷ* CK *καὶ* om M ‖ 2 *ὑπάρχει* post *ζῆν* transp EDW ‖ 3 *οὐδὲ* K | *τὸ αὐτὸ* CK ‖ 4 *κακῶς* om K | *κακὸν* om F | *κακὸν . . . ζῆν* om CK ‖ 5 post *κακόν* add *ἐστιν* CK | *εἰ* om C | ante *τοῖς* inser *καὶ* Sauppeus p. 776 | *τοῖς . . . κακὸν* om M | *καλῶς* solus K om reliqui | *ἂν*] *δεῖ* M *δὴ* reliqui libri, corr Sauppeus p. 776 ‖ 7 *μοι δοκεῖς* VCK *δοκεῖς μοι* reliqui ‖ 9 *κακῶς ζῶσι καὶ τοῖς καλῶς* CK ‖ 12 *ἀλλὰ τὸ πῶς τέμνειν* om CK ‖ 13. 14 *οὐκ . . . κακῶς ζῆν* om CK ‖ 16 *εἰ*] *σὺ* CK *considera nunc* 𝔄 | *οὕτω* RP | *ἔχει* inserui ‖ 17 *βούλῃ* P ‖ 20 *πολλάκις* om B

νοσεῖν. πολλάκις γὰρ οὐ συμφέρει ὑγιαίνειν, ἀλλὰ τοὐναντίον, ὅταν ᾖ περίστασις τοιαύτη.

Ἀληθῆ λέγεις.

XXXIX. Ἄγε δὴ σκεψώμεθα καὶ περὶ τοῦ πλουτεῖν οὕτως, εἴγε θεωρεῖν ἔστιν — ὡς πολλάκις ἔστιν ἰδεῖν — ὑπάρχοντά τινι πλοῦτον, κακῶς δὲ ζῶντα τοῦτον καὶ ἀθλίως.

Νὴ Δία, πολλούς γε.

2 Οὐκοῦν οὐδὲν τούτοις ὁ πλοῦτος βοηθεῖ εἰς τὸ ζῆν καλῶς;

Οὐ φαίνεται· αὐτοὶ γὰρ φαῦλοί εἰσιν.

3 Οὐκοῦν τὸ σπουδαίους εἶναι οὐχ ὁ πλοῦτος ποιεῖ, ἀλλὰ ἡ Παιδεία.

Εἰκός γε.

Ἐκ τούτου ἄρα τοῦ λόγου οὐδὲ ὁ πλοῦτος ἀγαθόν ἐστιν, εἴπερ οὐ βοηθεῖ τοῖς ἔχουσιν αὐτὸν εἰς τὸ βελτίους εἶναι.

Φαίνεται οὕτως.

4 Οὐδὲ συμφέρει ἄρα ἐνίοις πλουτεῖν, ὅταν μὴ ἐπίστωνται τῷ πλούτῳ χρῆσθαι.

Δοκεῖ μοι.

Πῶς οὖν τοῦτο ἄν τις κρίνοι ἀγαθὸν εἶναι, ὃ πολλάκις οὐ συμφέρει ὑπάρχειν;

5 Οὐδαμῶς.

2 τὸ ἐναντίον B | ᾖ] ἡ CM ‖ 5 post ὡς add οὐ praeter BK omnes, ὡς . . . ἰδεῖν eicit Anonym. Litter. Centralbl. 1871 p. 1111, nescio an recte ‖ 6 ὑπάρχοντι M | τοῦτον om EDW ‖ 9 οὐδὲν] οὐδὲ C mg rec ‖ 11 οὐ om M | αὐτοὶ] οὗτοι K ‖ 13 ἀλλὰ VRKP ἀλλ' reliqui ‖ 15 ἐκ . . . λόγου cum Sauppeo (p. 776) seni tribui | οὐδὲ] ποῦ δὲ CM ποῦ K ‖ 19 ἄρα om W ‖ 19. 20 ἐπίστωνται V^2 ἐπίστανται V^1 reliqui ‖ 22 κρίνοι V^2BRFEDW (D οι in rasura) κρινεῖ C κρι sscr ν' V^1 κρίνει P κρίνει sscr οι K^1 κρίνειε coni Sauppeus p. 775]

Οὐκοῦν εἰ μέν τις ἐπίσταται τῷ πλούτῳ χρῆσθαι καλῶς καὶ ἐμπείρως, εὖ βιώσεται, εἰ δὲ μή, κακῶς.

Ἀληθέστατά μοι δοκεῖς τοῦτο λέγειν.

XL. *Καὶ τὸ σύνολον δέ, ἔστι τὸ τιμᾶν ταῦτα ὡς
ἀγαθὰ ὄντα ἢ ἀτιμάζειν ὡς κακά, τοῦτο δέ ἐστι τὸ
ταράττον τοὺς ἀνθρώπους καὶ βλάπτον, ὅτι ἐὰν τιμῶ-
σιν αὐτὰ καὶ οἴωνται διὰ τούτων μόνων εἶναι τὸ
εὐδαιμονεῖν, [καὶ] πάνθ' ὑπομένουσι πράττειν ἕνεκα
τούτων καὶ τὰ ἀσεβέστατα καὶ τὰ αἰσχρότατα δοκοῦντα
εἶναι οὐ παραιτοῦνται. ταῦτα δὲ πάσχουσι διὰ τὴν* 2
*τοῦ ἀγαθοῦ ἄγνοιαν. ἀγνοοῦσι γὰρ ὅτι οὐ γίνεται ἐκ
κακῶν ἀγαθόν. πλοῦτον δὲ ἔστι πολλοὺς κτησαμένους* 3
*ἰδεῖν ἐκ κακῶν καὶ αἰσχρῶν ἔργων, οἷον λέγω ἐκ τοῦ
προδιδόναι καὶ λῃΐζεσθαι καὶ ἀνδροφονεῖν καὶ συκο-
φαντεῖν καὶ ἀποστερεῖν καὶ ἐξ ἄλλων πολλῶν καὶ
μοχθηρῶν.*

Ἔστι ταῦτα.

XLI. *Εἰ τοίνυν γίνεται ἐκ κακοῦ ἀγαθὸν μηδέν, ὥσπερ εἰκός, πλοῦτος δὲ γίνεται ἐκ κακῶν ἔργων, ἀνάγκη μὴ εἶναι ἀγαθὸν τὸν πλοῦτον.*

1 *εἰ* om P | articulum ante *πλούτῳ* om CK ‖ 2 *ἐμπείρως*] *εὐπόρως* M ‖ 3 *λέγειν τοῦτο* sed transp. litteris *β—α* superscr. F[1] ‖ 4 virgulam post *δὲ* ponunt Saupp. Muell. Jerram. | *ἔστι* om K ‖ 5 *ἀγαθὰ — ὡς* om C add mg rec man | *δὲ* om K *δ'* M ‖ 6 *ταράττον*] *παρατάττων* M | *ὅταν* libri *ὅτι ἐὰν* Muell. Jerram.; *et istud quia, ubi* 𝔄 | *τιμῶσιν αὐτὰ* K *τιμῶνται* reliqui *τιμῶσι* Muellerus ‖ 7 *οἴονται* V[1]CKP *οἴωνται* V[2] reliqui | *τοῦτον* CP *μόνον* VCP | *εἶναι μόνων*, sed transpos. superscr. *β—α* K[1] ‖ 8 *καὶ* inclusi | *ὑπομένουσι*] *ἑπομένως* libri *ὑπομένοντες* Hemsterhusius, *ὑπομένουσι* Saupp. (p. 771), Muell. (p. 57), Jerram.; *perseverant iuxta cum iis agere omnia* 𝔄 | *πράττουσιν* K ‖ 9 *αἰσχρότατα* om CM *καὶ τὰ αἰσχρότατα* om K ‖ 10 *οὐ*] *μὴ* F | *οὐ παραιτοῦνται* om CK del Saupp.; *et ita transeunt ad omnia illicita adque perpetrandum res turpes* 𝔄 ‖ 12 *ἐστιν* B ‖ 13 *ἔργων καὶ αἰσχρῶν* V ‖ 18 *μηθὲν* libri

Συμβαίνει οὕτως ἐκ τούτου τοῦ λόγου.

2 *Ἀλλ' οὐδὲ τὸ φρονεῖν γε οὐδὲ δικαιοπραγεῖν οὐκ*
ἔστι κτήσασθαι ἐκ κακῶν ἔργων, ὡσαύτως δὲ οὐδὲ τὸ
ἀδικεῖν καὶ ἀφρονεῖν ἐκ καλῶν ἔργων, οὐδὲ ὑπάρχειν
3 *ἅμα τῷ αὐτῷ δύναται. πλοῦτον δὲ καὶ δόξαν καὶ τὸ*
νικᾶν καὶ τὰ λοιπὰ ὅσα τούτοις παραπλήσια οὐδὲν
κωλύει ὑπάρχειν τινὶ ἅμα μετὰ κακίας πολλῆς. ὥστε
οὐκ ἂν εἴη ταῦτα ἀγαθὰ οὔτε κακά, ἀλλὰ τὸ φρονεῖν
μόνον ἀγαθόν, τὸ δὲ ἀφρονεῖν κακόν.
4 *Ἱκανῶς μοι δοκεῖς λέγειν, ἔφην.*

2 *οὐκ* om V[1] add V[2] || 3 *δὲ* om R || 4 *καλῶν*] *κακῶν* P || 5 *τῷ αὐτῷ*] *τὰ αὐτὰ* libri, corr Schweigh. | *δύνανται* P || 7 *ἅμα*] *ἀλλὰ* libri, corr Schweigh. | *μετὰ*] *κατὰ* W || 8 *εἴη* W *εἰ* P *ἦ* reliqui | 9 *φρ*νειν* V[1] *ἀφραίνειν* sscr *ε* supra *αι* V[2]

Et profligavimus eam opinionem, qua illa a pravis actionibus esse creduntur.

XLII. (Senex:) Utique multum hoc est et idem
atque illud, quod diximus talia neque bona neque
mala esse, idque eo magis, quod si ea ex solis actio-
nibus pravis provenirent, essent mala tantummodo.
Sed ab utroque genere omnia proficiscuntur, ideoque 2
diximus ea nec bona esse nec mala, sicuti somnus et
vigilia nec bona sunt nec mala. Et similiter mea 3
quidem sententia ambulare et sedere et reliqua, quae
accidunt unicuique eorum, qui aut intellegentes sunt
aut ignorantes. Quae autem propria sunt alterutri,
eorum alterum bonum alterum malum est, sicuti ty-
rannis et iustitia, quae duae res accidunt uni aut alteri;
idque quia iustitia perpetuo adhaeret intellegentia prae-
ditis, et tyrannis nullos nisi ignorantes comitatur.
Nec enim fieri potest, id quod supra diximus, ut uni
eidemque uno eodemque temporis momento res duae 4
ad istum modum se habentes accidant, ita ut homo
unus idemque eodem temporis momento sit dormiens
et vigilans utque sit sapiens et ignarus simul aut
aliud quidlibet eorum, quae parem rationem habent.

(Hospes:) Ad haec ego: Toto hoc, inquam, sermone rem omnem te iam absolvisse autumo.

XLIII. (Senex:) Haec autem omnia, inquit, ego dico procedere ab illo principio vere divino.

(Hospes:) At quidnam illud est, inquam, quod tu innuis?

2 (Senex:) Vita et mors, inquit, sanitas et aegritudo, divitiae et paupertas ac cetera, quae et bona et mala esse dixisti[1]), accidunt plerisque hominibus a non malo.

(Hospes:) Plane conicimus, inquam, id necessario ex hoc sermone sequi, talia nec bona nec mala esse, ita tamen, ut haud firmus sim in iudicio de istis.

3 (Senex:) Hoc fit, inquit, ideo, quod longe abs te abest habitus ille, quo eam sententiam animo concipias. Itaque rerum usum, quem paulo ante vobis indicavi, toto vitae vestrae curriculo persequimini, ut ea quae vobis diximus infigantur animis vestris eaque
4 re vobis accedat habitus. Si autem dubitaveritis de aliqua re, revertimini ad me, ut explicem vobis ea de re, quibus dubitatio a vobis discedat.

---

1) Sic vertendum esse, non, ut vulgo fit, *quae nec bona nec mala esse diximus,* humanissime me docuit vir clarissimus Steckius theologiae professor. Cogitatur de c. 36, 4.

INDEX VERBORUM.[1]

ἀβεβαίως 7, 2.
ἀγαθά: de rebus bonis et malis exponitur 3, 3; 8, 3 sq.; 25, 2; 28, 3; 34, 2; 36, 1 sq.
ἄγνοια 5, 3; 6, 3; 14, 3. 4; 19, 5; 23, 1; 25, 2; 27, 4; 40, 2.
ἀγνοῶ 40, 2.
ἀγών 22, 1 bis.
ἄδικος 34, 3.
ἀδικῶ 41, 2.
ἀδοξία 27, 4.
ἄθλιος 28, 2; *ἀθλίως* 24, 2; 27, 3; 39, 1.
ἀθυμία 10, 3; 27, 4.
αἱρετός 37, 1; 38, 3.
ἀκαλλώπιστος 18, 1.
ἀκίνητος 35, 2. 3.
ἀκρασία 9, 1; 14, 1; 19, 5; 23, 2; 24, 2; 26, 2; 28, 1. 3; 32, 3; 35, 2.
ἀκρατής 34, 3.
ἀκρόπολις 21, 2.
ἀλαζονεία 19, 5; 24, 2.
ἀλήθεια 18, 2.
ἀμαθής 3, 1.
ἀμεταμέλητος 32, 2.
ἀνακάμπτω ambulo 13, 1.
ἀνάληψις 19, 2.
ἀνανήφω 9, 3.
ἀνδρεία 20, 3.
ἀνδροφονῶ 40, 3.
ἀνοδία 15, 2; 27, 3.
ἀντιφάρμακον 26, 3 bis.
ἀπάτη 5, 2; 6, 2. 3; 14, 3; 19, 5.
ἀπεριέργως 21, 3.
ἄπλαστος 20, 2.
ἀπληστία 9, 1.
ἀποδειλιῶ 16, 3; 27, 3.
ἀποστερῶ 9, 4; 40, 3.
ἀπροβούλευτος 8, 1.
ἀρεταί 17, 3; 19, 1; 20, 1; 22, 1; 24, 2; 25, 1; 29, 2. 3.
ἀριθμητικοί 13, 2.
ἀρρωστῶ 38, 1.
ἀσεβής 40, 1.
ἀστρολόγοι 13, 2.
ἀσχημονῶ 9, 4.
ἀσωτία 9, 1; 28, 3.
ἀτρύφερος 20, 2.
ἀφοβία 18, 4.
ἀφρονεῖν 41, 2. 3.
ἀφροσύνη 3, 2. 4; 14, 3.
ἄφρων 3, 1; 34, 3.

βασιλεία 8, 4.
βελτίω γενέσθαι 33, 4. 5 bis. 6; 34, 1. 4. *β. εἶναι* 35, 4; 39, 3.
βλαβερός 37, 1.
βοσκήματα 28, 3.
βουνός 15, 3. 4; 27, 1.

γαργαλίζω 9, 3.
γεωμέτραι 13, 2.
γράμματα 33, 3; 34, 3.
γυνή: fraus, affectiones, virtutes mulierum forma indutae passim.

---

1) Prior numerus designat caput, alter paragraphum.

δαιμόνιον 24, 3; 30, 1; 31, 3. 5; 32, 5; 33, 2.
δαίμων 4, 3.
διαλεκτικοί 13, 2.
δικαιοπραγῶ 41, 2.
δικαιοσύνη 20, 3.
δόξα opinio 6, 2; 11, 1. 2; 14, 2. 3. 4; 29, 2. 3; 35, 3. 4; bona fama 8, 4; 41, 3.
δύναμις 5, 2; 14, 3; 19, 1. 4; 22, 1; 23, 3. 4; 33, 3.
δυσμαθής 35, 2.

ἐγγίζω 35, 1.
ἐγκράτεια 16, 2; 20, 3.
εἰκαῖος 12, 3.
ἐκκαθαίρω 19, 4.
ἐκποιεῖ 8, 4.
ἔκπτωσις 7, 3.
ἐλευθερία 20, 3.
ἐλευθέρως 21, 3.
ἐλπίδες 23, 4.
ἐμπείρως 39, 5.
ἐμφαίνει 16, 5; 18, 2; 21, 3.
ἔμφασις 1, 3; 27, 1.
ἔμφρων 2, 2.
ἕξιν λαβεῖν 35, 5; ἕ. περιποιεῖσθαι 20, 4.
ἐπάνω εἶναι τῶν λυπούντων 26, 3.
ἐπιθυμία 4, 1; 6, 2; [11, 1;] 19, 5.
ἐπικατοικῶ 15, 1.
ἐπιορκῶ 9, 4.
ἐπιστήμη 18, 4; 20, 1. 3; 25, 3; 29, 3; 32, 2.
ἑρμηνεύς 33, 6.
ἑταῖραι 9, 1.
εὐγένεια 8, 4.
εὐδαιμονία 17, 3; 21, 1. 3; 22, 1; 23, 4.
εὐδαιμονικός 23, 4.
εὐδαιμονῶ 40, 1.
εὐδαίμων 3, 1; 6, 3; 17, 3; 29, 2; εὐδ. καὶ μακάριος 23, 4; vid. μακάριος.
εὐδοκιμῶ 36, 1.
εὐεκτῶ 16, 1.
εὐπόρευτος 16, 5.
εὔτακτος 12, 2; 20, 2.
εὐταξία 20, 3.
ἐφόδιον 32, 4.
ἐχιόδηκτοι exhibent libri 26, 3 (ἐχιοδεῖκται).

Ζεύς: πρὸς Διός 3, 1; νὴ Δία 14, 2. [3]; 16, 5; 28, 1; 39, 1.
ζῆν res bona an indifferens 36, 1 sq. passim.

ἡδονή 6, 2.
ἡδονικοί 13, 2.
ἡδυπάθεια 9, 3; 28, 1; 32, 3.
Ἡρακλῆς: ὦ Ἡράκλεις 4, 1; 12, 1; (om ὦ plurimi libri) 19, 1.

θαρρῶ 16, 3; 30, 2 bis.
θάρσος 16, 5; 18, 4.
θέμα 31, 4.
θεραπεύω 19, 1. 4.
θηρίον: affectus bestiarum imagine induti 22, 2; 23, 1 bis; 26, 2.
θυμός 19, 5.

ἰατρός 19, 2 bis; 26, 1.
ἴδιος singularis, mirus 1, 1.
ἱεροσυλῶ 9, 4.
ἴσους γίνεσθαι πρὸς . . . δόσεις 31, 2.
ἰσχύς 16, 5.

καθαίρω 11, 2; 14, 4; 19, 1; 20, 1.
καθάριος 12, 2.
καθαρτικός 14, 3; 19, 1. 2.
καθεστηκώς 18, 1; 21, 3.
καίω 38, 1.
κακά vid. ἀγαθά.
κακία 14, 3. 4; 23, 2; 34, 2; 35, 2; 41, 3.
κακοδαιμονία 10, 4 bis.

κακοδαίμων 3, 1; 28, 2.
κακοπάθεια 9, 2.
κακοποιῶ 26, 3.
καλοκάγαθία 20, 3.
καρτερία 16, 2; 27, 3.
καρτερῶ 16, 3.
καταστρέφω τὸν λοιπὸν βίον 10, 4.
κεκριμένος 18, 1.
κενοδοξία 24, 2.
ἐπὶ κεφαλαίου 28, 3.
κολακεία 9, 1.
κριτικοί 13, 2.
Κρόνος 1, 1; 2, 2.
Κωρύκιον ἄντρον 26, 1.

λειμωνοειδής 17, 1.
ληΐζομαι 9, 4; 40, 3.
λύπη 10, 2; 23, 2; 26, 2; 27, 1. 4.
λυσιτελής 6, 3.

μαθήματα 14, 4; 33, 3. 6; 34, 3. 4.
μαθηματικοί 34, 1; 35, 2.
μακάριος καὶ εὐδαίμων 3, 4; 11, 2; vid. εὐδαίμων.
μέθυσος 34, 3.
μεταμέλεια 35, 4.
μετάνοια 10, 4; 11, 1.
μουσικοί 13, 2.
μοχθηρός 40, 3.

ναυαγῶ 24, 2.
νίκη 23, 3.
νίκημα 24, 1.
νικῶ 22, 1 bis. 2; 36, 1; 41, 3.
νοσοποιῶ 19, 2.

ὀδύνη 10, 2; 26, 2; 27, 4.
ὀδυρμός 10, 3; 23, 2.
ὀχλῶ 15, 2.

παιδεία 12, 3; 18, 2; 19, 4; 27, 2. 3; 28, 2; 29, 2. 3. 4; 32, 1; 35, 4; 39, 3. ἀληθινὴ π. 11, 1. 2; 12, 3 bis; 13, 1; 15, 1. 3; 16, 5; 32, 4; 33, 4; 35, 1. 2. 3.
Παρμενίδειος 2, 2.
πάσχω aegroto 26, 1.
πειθώ 18, 2.
πενία 26, 2.
τὸ πέρας 34, 3.
περιπατητικοί 13, 2.
περισπῶ 33, 3.
περίστασις 38, 4.
πικρός 3, 1.
πλάνος 5, 3 bis; 6, 3; 19, 5; 23, 1; 25, 2.
Πλάτων 33, 3.
πλέκομαι πρός τινα 6, 2.
πλοῦτος 8, 4; 39, 1 sqq.
πλουτῶ 36, 1 sq.; 39, 1.
ποιηταί 13, 2.
πολιτικός 2, 2.
ποτίζω 5, 2; 19, 1. 4.
πραότης 20, 3.
προαίρεσις 10, 4.
προδίδωμι 9, 4; 40, 3.
προδότης 34, 3.
προσκαταβαίνω 16, 4.
προσπυνθάνομαι 33, 1.
Πυθαγόρειος 2, 2.
πυλών 1, 3.
πῶς: τὸ πῶς τέμνειν 38, 1.

ῥήτορες 13, 2.

σοφία 2, 2.
σπουδαῖος 2, 3; 39, 3.
στέφανος 21, 3; 23, 3.
στεφανῶ 21, 3; 22, 1; 23, 3. 4; 24, 1; 27, 1. 2.
συκοφαντῶ 40, 3.
τὸ σύνολον 40, 1.
συνομιλῶ 13, 1.
τὰ συμφέροντα 25, 3; 32, 2.
Σφίγξ 3, 2 ter. 3.
σωφροσύνη 20, 3.

ταλαίπωρος 28, 2.
ταράττω 24, 3; 40, 1.

ταραχή 27, 1.
τέκνα 8, 4; 36, 1.
τέμνω 38, 1.
τιμωρία 3, 3; 9, 4; 10, 2.
τραπεζίτης 31, 3.
τυραννίς 8, 4.
τύχη 7, 1; (ἀγαθὴ τ., κακὴ τ.) 8, 2; 9, 2. 4; 30, 3; 31, 5; 36, 1.

ὑγεία 19, 2.
ὑγιαίνω 36, 1; 38, 4 bis.

φαῦλος 39, 2.
φευκτός 37, 1.
φιλαργυρία 19, 5; 23, 2; 24, 2; 26, 2.
φιλάργυρος 34, 3.
φιλοτίμως 19, 2.
φρόνιμος 3, 1.
φρονῶ 41, 2. 3.

χαλινός 33, 3.

ψευδοδοξία 11, 2.
ψευδοπαιδεία 11, 1; 12, 1. 3; 13, 1; 14, 3. 4; 32, 3; 33 2; 35, 4.

ὡσανεί 33, 3.
ὠφέλιμος 37, 1.

Date Due

SEP -0 1970			


BOSTON COLLEGE
3 9031 01373830 7